μὴ δῆτα, θυμέ, μή ποτ᾽ ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
μὰ τοὺς παρ᾽ Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽ ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται·
καὶ δὴ ᾽πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ
νύμφη τύραννος ὄλλυται, σάφ᾽ οἶδ᾽ ἐγώ.
ἀλλ᾽ εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,
παῖδας προσειπεῖν βούλομαι. δότ᾽, ὦ τέκνα,
δότ᾽ ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον ἀλλ᾽ ἐκεῖ· τὰ δ᾽ ἐνθάδε
πατὴρ ἀφείλετ᾽. ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ᾽ ἥδιστον τέκνων.
χωρεῖτε χωρεῖτ᾽· οὐκέτ᾽ εἰμὶ προσβλέπειν
οἵα πρὸς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

*ΧΟ.* πολλάκις ἤδη
διὰ λεπτοτέρων μύθων ἔμολον
καὶ πρὸς ἁμίλλας ἦλθον μείζους
ἢ χρὴ γενεὰν θῆλυν ἐρευνᾶν·
ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν,

πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή, 1062
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.

---

1056. *μὴ σύ γ᾽ ἐργάσῃ* (ω) *BC* 1058. *με* B 1059. *ᾄδῃ* (ν) B *ᾄδην* ceteri. 1064. *πέπρακται* BC *πέπρακται* bcd*B* *πέπρωται C* 1065. *τε BC* 1071. *μοι στόμα BC* 1077. *οἵα πρός*] *οἷα τε πρός* BCbc *οἷα τ᾽ ἐς BC* 1078. *δρᾶν μέλλω*] v. l. *τολμήσω*. 1084. et *εἰ* et *ἢ* (*ἤ*) libri.